ReIReS
Research Infrastructure on Religious Studies

Use and Study of Special Documents

22-27 September 2019, Sofia

# How to Identify and Analyze Medieval Theological Fragments

I. Christov
Sofia University, Faculty of Theology

# Editions of the fragments

Greek and Bulgarian







Неизвестни фрагменти от паламитските спорове в Църковноисторическия и архивен институт (част 1-2). – *Архив за средновековна философия и култура*, Свитък XVI- XVII, „Изток-Запад", С., 2009-2010, с. 362-377, с. 335-376.

Greek text, English introduction and notes




Fragments from an Unknown Antipalamite Treatise in the Library of Bachkovo Monastery. – *Medieval Bulgarian Art and Letters in a Byzantine Context*, Sofia 2017, pp. 247-266.

# Palaeographic description







Getov, D. *A Catalogue of the Greek Manuscripts at the Ecclesiastical Historical and Archival Institute of the Patriarchate of Bulgaria*, vol. I, Bačkovo monastery, Brepols Publishers, 2014, p. 296.

# Scribe

**Manuel Tzykandiles** – a famous scribe of the end of the 14th c.

Copied works belonging to the both sides of Palamite controversy:

Palamas (Vat. gr. 1711)
Prochoros Kydones, John Kantakuzenos (Vat. gr. 674)

# Looking for historical evidences

1. Frg. 5,10–25 οὐκοῦν εἰ μὲν ἑκατέρων πώποτε διακούσαντες ὁποίαν οὖν ἐξήνεγκαν ψῆφον δεικνυόντων οἱ ταῦτα λογοποιοῦντες καὶ τερατευόμενοι γόητες· ποῖον μὲν χωρίον τὴν ἐκκλησίαν ἐδέξατο· τὶς δὲ προὔστη ταύτης, τίνες δὲ τοῖς συνειλεγμένοις προσηγορίαι· τίς δ' ἀνάγραπτα κατὰ τὸ εἰωθὸς τὰ λελαλημένα πεποίηκε· παρίτω τις καὶ λεγέτω· εἰ δ' οὐκ ἔχει, πῶς οὐκ αἰσχύνεσθε συκοφάνται, τὰ μηδέποτε γεγονότα μυθολογοῦντες· καὶ γὰρ εἰ Φῆστος Ῥωμαίοις χιλιαρχῶν· μὴ εἶναι τοῦτο Ῥωμαῖος ἔθος διισχυρίζετο χαρίζεσταί τινα τοῖς ἐξαιτοῦσι πρὸς θάνατον, πρὶν ἢ τὸν κατηγορούμενον ἀριδήλως ἀπελεγχθῆναι, χώρας πρῶτον πρὸς ἀπολογίαν εὐμοιρηκότα, πολλῷ γε μᾶλλον ἡ τὰ τῶν ἄλλων ἤθη πλάττουσα καὶ διατυποῦσα καὶ νόμους τιθεῖσα, καὶ πάνθ' ἁπλῶς πρὸς τὸ βέλτιόν τε καὶ δικαιότερον διατάττουσα, ἐκλλησία, οὐδ' ἂν μίαν ἤνεγκε ψῆφον κατ' οὐδενὸς μὴ πρὶν εἰδυῖα καλῶς, τὰ περὶ ὧν ἀποφήναιτο

# Looking for stylistic indications

2. Frg. 24,3–10 πῶς οὐχ ὑμᾶς μὲν μετὰ τῶν ἀρῶν εἰς Χάος ἢ Τάρταρον ἀπωσόμεθα, ἄσμενοις δ᾽ ἐκείνοις ἑψόμεθα, καὶ τὰς παρ᾽ ὑμῶν ταύτας, ἐκλαλουμένας ἀποκηρύξεις, ὡσεὶ νηπίων τὸ τῆς Γραφῆς εἰπεῖν, λογισόμεθα βέλη· καὶ εἰ νῦν διὰ πίστεως περιπατοῦμεν καὶ οὐ διὰ εἴδους, ἀληθὲς καὶ εἰκόνας τῶν πραγμάτων εἰπεῖν ὁρᾶν καὶ ἰνδάλματα· καὶ μὴ πόρρω <τὸ>ν θεῖον Ἀπόστολον τῆς τοῦ ὁράματος ἐλαύνειν ἐννοίας, οἷς εἴρηκε «τὰ μὲν βλεπόμενα πρόσκαιρα, τὰ δ᾽ μὴ βλεπόμενα αἰώνια» (24,3–10)

# Looking for dogmatic indications

**3.** Frg. 10,16–19 ...πού ποθ᾽ εὕρατε ῥῆσιν, ἢ φωνὴν ἠκούσατε τῶν τε πρότερον ὑπαρξάντων μακαρίων ἀνδρῶν καὶ τῶν τήμερον ὄντων, τὴν οὐσίαν εἶναι τοῦ θεοῦ, τοῦθ᾽ ὅπερ ὁ σωτὴρ ὅραμα κεχρημάτικε

**4.** Frg. 10,22 sq. οὐδ᾽ ἤνεγκέ τις τελῶν εἰς χριστιανοὺς ὁρατὴν ἀκοῦσαι καὶ περιληπτὴν τὴν ἄπειρον καὶ ἄϋλον οὐσίαν

# Looking for dogmatic indications

**5.** Frg. 14,11–18 πῶς ἄν τις... καὶ καθ’ ἕκαστον ὑποτυπώσειεν, ὅρασιν τὸ αὐτὸ καὶ ὁμοίωσιν καὶ θεοφάνειαν παριστῶν, καὶ οὐκ ἀποδέων τοῦ πρὶν εἰρηκότος· «ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην»; πῶς δ’ ἀληθέστερον ἄν τις γνοίη καὶ τὰς ἀμέσως τισὶ προειρημένας ἐγγίνεσθαι θεοφανείας, διὰ μέσων τυποῦσθαι τῶν ἀγγελικῶν δυνάμεων; *Hos.* 12:11.

# Looking for dogmatic indications

**6.** Frg. 16,1–10 Εἰ δ᾽ ὁ τοῦ Θεοῦ λόγος καὶ Θεὸς σάρξ γενόμενος, καὶ τὴν κατ᾽ αὐτὴν ἑκὼν τηρῶν τάξιν, ὁ πάσης δημιουργὸς τάξεως τῆς ὁρισθείσης παρ᾽ αὐτοῦ οὐκ ἀποπηδᾷ τάξεως. ἐφόσον δὲ τὴν ἀνθρωπίνην ταύτην διῆγε ζωὴν καὶ πρὸ τοῦ ταύτην ἀφθαρτίσαι, καὶ τῷ Θεῷ καὶ Πατρὶ συγκαθίσαι, διὰ μέσων ἀγγέλων, ἐμυεῖτο καὶ ἐτάττετο τὰ πρὸς Θεόν, τί ἄν τις εἴποι πρὸς τοὺς τήμερον ἀποστατήσαντας, καὶ πλέον εἰδέναι φανταζομένους τοῦ κατὰ Χριστὸν ὑπερφυοῖς ἀ<νθρωπίνου>, τὴν πρόφασιν ἀπὸ τοῦ περιλάμψαντος τηνικαῦτα φωτὸς ἐν Θαβωρίῳ προσειληφώτας…

# Looking for dogmatic indications

**7.** Frg. 17,1–3 Ἔνδοθεν ἐξ αὐτοῦ τοῦ Κυρίου παριστᾶς <ἀπαυ>γάζεσθ<αι> τὸ φῶς ἐκεῖνο λέγειν, καὶ οὐκ ἄλλοθεν οὐδ' ἀπό τινος τῶν ἐκτός…

8. Frg. 17,18–25 οὐδέν ἐστι τῶν ὁραμάτων ἄμεσον εὑρεῖν· καὶ τοῦτον τὸν τρόπον, πᾶσαν συντελουμένην θεοφάνειαν· μία δὲ τούτων, καὶ «τὸ παρὰ τοῦ θεοῦ» προσρηθὲν ὅραμα. ποῦ <λοιπὸ>ν χοροῦ τάξομεν τοὺς νῦν ἡμᾶς ἐπαρωμένους ὅτι τοῦτο συνειλήφασιν ἀποκαλοῦντας ἡμᾶς ὅραμα κατὰ τὴν τῶν ἄλλων θεοφανειῶν συντελούμενον [.......]· ἐγὼ μέν, οὐχ ὁρῶ...

# Looking for dogmatic indications

**9.** Frg. 18,24–33 ἀμφότερα λοιπόν, καὶ εἰκόνα ἀμυδρὰν καὶ ὑπόδειγμα τῆς δόξης ἐκείνης σωματικώτερον ἔν γε τὸ παρόντι δεικνύμενον ἁρμόζειν παρίστησι τῷ ὁράματι· ἔκ τῆς γραφῆς ἀκούσας διιούσης, ὡς οἶμαι γ᾽ ὀρθῶς σωματικῷ εἴδει τὰ τοιαῦθ᾽ ὁρᾶσθαι· τοὐντεῦθεν καὶ τὴν προσηγορίαν λαχεῖν· καὶ κατ᾽ οὐδὲν διαλλάττων τῶν προειρηκότων, ὁμοίωσιν εἶναι ταῦτα διαγεγραμμένην, ὡς ἐν μορφώσει τῶν ἀμορφώτων, καὶ σωματικάς τινας ὑπο<τυπώσεις> κατὰ τὸ μέτρον τῆς ἑκάστου δυνάμεως τῶν δεχομένων τὴν θείαν ἐμφάνειαν ἀεὶ γεγενημένην

# Looking for dogmatic indications

**10.** Frg. 19,8–12 ὅτι δ’ ἡ τ<ῇ> οὐσίᾳ τῇ θείᾳ πρέπ<ουσα> δόξα πάσῃ γεννητῇ φύσει ἀθέατός ἐστι καὶ ἀπρόσιτος, ἔδειξαν οἱ μαθηταὶ [.....] ταύτην αὐτὴν τὴν παραδειχθεῖσαν ἐπὶ τοῦ ὄρους σωματικὴν ὄψιν δύνατ<όν ἐστι> ἐνεγκεῖν».

**11.** Frg. 19,28–33 πλεῖστον γὰρ τό, ..καὶ σωματικώτερον δήπου ἢ καὶ σωματικῶς δείκνυσθαι καὶ τοῖς θνητοῖς ὑποπίπτειν εἰς θέαν ὀφθαλμοῖς, τοῦ ἴνδαλμα φάσκειν ἀληθείας. ἐπειδὴ τὸ μὲν ἐν νοήμασι συνίστασθαι, τό δ’ ἐπὶ τὴν αἴσθησιν ἄγειν, εἴποι τις ἄν· καὶ τὸ μὲν ἐπὶ θεωρίαν ἀνατρέχειν ἀναπείθει· τό δ’ ἐπὶ τὴν ὕλην ὑποβιβάζειν.

# Looking for dogmatic indications

**12.** Frg. 20,16–18 μετὰ γὰρ τῶν ἄλλων τῶν αἰσθητοῖς ὀφθαλμοῖς ὁραθέντων, καὶ ἡ τῆς μεταμορφώσεως ἀπόλαυσις ἠρίθμηται.

**13.** Frg. 20,26–28 τὸ περιλάμψαν τὸν θειότατον Παῦλον φῶς (*Act*. 9:3, 22:6, 26:13.) οὐκ ἔλαττον ὂν τοῦ κατὰ τὸ Θαβῶρ [†]

# Looking for dogmatic indications

**14.** Frg. 25,1–13 Καὶ μή μοι λέγετε θεότητα τοῦτο τὸ φῶς εἰρῆσθαι· ἀλλὰ σκοπεῖσθε τὸ παραδειχθεῖσαν προσκεῖσθαι, καὶ λογίζεσθε τὸ προσειρημένον· «ὥσπερ αἱ καθ' ὑδάτων σκιαὶ καὶ εἰκόνες ταῖς σαθραῖς ὄψεσι παραδεικνῦσαι τὸν ἥλιον»· ἵν' αὐτόθεν εὐθὺς ἁρμόζειν ἔχητε πρὸς ὁποίαν καὶ τὸ παραδείκνυσθαι τείνει διάνοιαν· καὶ μὴ δ' αὖ πάλιν δόξαν θεοῦ καὶ βασιλείαν θεοῦ, καὶ τἄλλα· τῆς Γραφῆς δ' μάλιστα γ' ἀποπειρᾶσθαι, σαφῶς κἀπὶ τῶν εἰκόνων ταῦτα παραδιδούσης λέγεσθαι· οὕτω γὰρ εἰκὼν ὢν ὁ ἀνὴρ θεοῦ, καὶ δόξα κέκληται θεοῦ, καὶ βασιλεία πάντες ἡμεῖς θεοῦ, ὡς ὑπ' ἐκεινου βασιλευόμενοι καὶ μάλιστ' ἐκ τούτων εἰς τὴν τῆς εἰκόνος ἔννοιαν χειραγωγούμεθα, μεμνημένοι Πνεῦμα Ἅγιον, τὴν ἐν σωματικῷ εἴδει κατὰ πᾶσαν παρονομάζεσθαι περιστεράν.